UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Maroni. 123.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

φυτῶν αἴτιος, εἰκότως καὶ Εὐσέβιος πλέον ἐκείνων θρηνεῖσθαι ἂν εἴη δίκαιος.

Λαμπετίῳ ἐπισκόπῳ. ρκβ.

Ἀποδέχομαι μὲν σου τὸν θεῖον ζῆλον, ὅτι τὴν ἱερωσύνην ὑβριζομένην ὑπὸ Εὐσεβίου τοῦ κατ' ἀντίφρασιν τῆς εὐσεβείας οὕτως ἑαυτὸν κεκληκότος, θεώμενος ἀγανακτεῖς. ἐξ ὧν γὰρ ἱερωσύνης ἀνάξιος ὢν, οὐκ οἶδ' ὅπως εἰς ταύτην εἰσεκώμασεν, ἐκ τούτων καὶ τοῖς ἐπιτυχοῦσιν αὐτὴν νέμει, εὔωνον καὶ πεπατημένον πρᾶγμα, τὴν θείαν λειτουργίαν ἡγούμενος. ἀλλ' ἐπειδὴ τῷ θείῳ καὶ ἀδεκάστῳ ταῦτα ἀνήκει κριτῇ, τῷ νυνὶ μὲν μακροθυμοῦντι, ἵν' εἰς μετάνοιαν τοὺς πταίοντας ἀγάγῃ, ὕστερον δὲ οὐκ οἴσοντι τὰ γιγνόμενα, ἀλλ' ἀφορήτους ὁριοῦντι τὰς κολάσεις. ἑαυτῶν ἐπιμελόμενοι τὰς ἡσυχίας ἄγωμεν. εἰ μὲν γὰρ ἦν τι ἐκ τοῦ παρρησιάσασθαι κέρδος, οὐδενὶ ἂν παρεχώρησα, καί τοι διὰ τοῦτο πολλάκις ἐπιβουλευθείς. ἀλλ' ἐπειδὴ σιγῆς ὁ καιρὸς, ἀναμείνωμεν τὸν κριτήν.

Μάρωνι. ρκγ.

Μὴ τῷ συγγνώμης τυχεῖν προσδοκᾶν, διαπαντὸς πλημμέλει, ἀλλὰ τῷ μὴ πλημμελεῖν τὴν ἀσφάλειαν πορίζου. πολλοὶ γὰρ τῇ προσδοκίᾳ τῆς συγγνώμης πολλὰ δράσαντες, τῆς συγγνώμης διήμαρτον, μήτε γνωσιμαχήσαντες, μήτε συγγνωσθέντες.

Μαρτινιανῷ, Ζωσίμῳ, Μάρωνι, Εὐσταθίῳ. ρκδ.

Ἐπειδὴ ὁ θεσπέσιος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ τῶν τοῦ Χριστοῦ νοημάτων ταμίας, ὁ γῆν καὶ θάλασσαν ῥυθμίσας, ὁ βαρβάρους φιλοσοφεῖν ἀναπείσας, Ἑλλήνων χείρους ἀπεφήνατο εἶναι τοὺς τῶν πέλας ὀλιγωροῦντας. φήσας, εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν

suæ gradum peccatum reddit. Quocirca si is qui semen dedit, stirpium causa est, meritò quoque Eusebium maioribus luctibus ac lamentis, quàm illos prosequi conuenit.

*Lampetio Episcopo.* 122.

Diuinum quidem tuum zelum probo, qui sacerdotij dignitatem ab Eusebio (qui per antiphrasim à pietate sibi nomen imposuit) contumelia affici perspiciens, indigneris ac stomacheris. Nam quia cùm sacerdotio indignus esset, nescio quo pacto in illud irrupit: hinc fit, vt quibusuis etiam illud tribuat, vilem scilicet ac protritam quandam rem diuinum ministerium existimans. Verùm quoniam hæc ad diuinū & incorruptum iudicem spectant, qui nunc quidem animi æquitate ac lenitate vtitur, vt peccantes ad pœnitentiam adducat, postea autem ea, quæ fiunt minimè feret, verùm intolerandos cruciatus constituet, nostros ipsi animos curantes quietem agamus. Nam si quis fructus ex reprehendēdi libertate oriretur, nemini ipse hac in re cessissem, etiamsi ob eam causam insidiis persæpe appetitus. Verùm cùm hoc tempus silentium postulet, iudicem expectemus.

*Maroni.* 123.

Ne consequendæ veniæ spe atque expectatione perpetuò pecca, verùm à peccato abstinendo securitatem tibi cōpara. Multi enim veniæ spe multis sceleribus admissis veniā minimè assecuti sunt: vt qui nec ad meliorem frugem se receperint, nec etiam veniam impetrarint.

*Martiniano, Zosimo, Maroni, Eustathio.* 124.

Quandoquidem Paulus, vas inquam illud electionis, ille Christi censuum pro- *Act. 9.*
mus condus, qui terram ac mare composuit, qui barbaros ad philosophicum vitæ genus amplectendum adduxit, Gentilibus deteriores eos esse pronunciauit, qui proximos negligunt, his verbis vtens, Si quis *1. Tim. 5.*